φέροντες· οὔτοι δῶρα μεμπτὰ δέξεται.
*IA.* τί δ᾽, ὦ ματαία, τῶνδε σὰς κενοῖς χέρας;
δοκεῖς σπανίζειν δῶμα βασίλειον πέπλων,
δοκεῖς δὲ χρυσοῦ; σῷζε, μὴ δίδου τάδε.
εἴπερ γὰρ ἡμᾶς ἀξιοῖ λόγου τινὸς
γυνή, προθήσει χρημάτων, σάφ᾽ οἶδ᾽ ἐγώ.
*MH.* μή μοι σύ· πείθειν δῶρα καὶ θεοὺς λόγος·
χρυσὸς δὲ κρείσσων μυρίων λόγων βροτοῖς.
κείνης ὁ δαίμων, κεῖνα νῦν αὔξει θεός,
νέα τυραννεῖ· τῶν δ᾽ ἐμῶν παίδων φυγὰς
ψυχῆς ἂν ἀλλαξαίμεθ᾽, οὐ χρυσοῦ μόνον.
ἀλλ᾽, ὦ τέκν᾽, εἰσελθόντε πλουσίους δόμους
πατρὸς νέαν γυναῖκα, δεσπότιν δ᾽ ἐμήν,
ἱκετεύετ᾽, ἐξαιτεῖσθε μὴ φεύγειν χθόνα,
κόσμον διδόντες· τοῦδε γὰρ μάλιστα δεῖ,
εἰς χεῖρ᾽ ἐκείνην δῶρα δέξασθαι τάδε.
ἴθ᾽ ὡς τάχιστα· μητρὶ δ᾽ ὧν ἐρᾷ τυχεῖν
εὐάγγελοι γένοισθε πράξαντες καλῶς.
*XO.* νῦν ἐλπίδες οὐκέτι μοι παίδων ζόας, str.
οὐκέτι· στείχουσι γὰρ ἐς φόνον ἤδη.
δέξεται νύμφα χρυσέων ἀναδεσμῶν
δέξεται δύστανος ἄταν·
ξανθᾷ δ᾽ ἀμφὶ κόμᾳ θήσει τὸν Ἅιδα
κόσμον αὐτὰ χεροῖν λαβοῦσα.
πείσει χάρις ἀμβρόσιός τ᾽ αὐγὰ πέπλον antistr.
χρυσότευκτόν τε στέφανον περιθέσθαι·
νερτέροις δ᾽ ἤδη πάρα νυμφοκομήσει.
τοῖον εἰς ἕρκος πεσεῖται
καὶ μοῖραν θανάτου δύστανος· ἄταν δ᾽
οὐχ ὑπερφεύξεται . . . . .
σὺ δ᾽, ὦ τάλαν, ὦ κακόνυμφε κηδεμὼν τυράννων, str.

---

970. δ᾽] Elmsleyus, τ᾽ libri. 971. *φυγεῖν BC* 973. *ἐκείνης BC* 976. *ζόας*] Porsonus, *ζωᾶς* libri. 979. *ἁ δύστανος BC* 982. *πέπλον*] Reiskius, *πέπλων* vel *πέπλου* libri. 983. *χρυσότευκτον*] Elmsleyus, *χρυσεότευκτον* libri. *τε*] addidit Reiskius. 987. *θανάτου προσλήψεται δύστανος C*